πολλοὺς ἐθορύβησεν, ἔδακε τὸ συνειδὸς τῶν ἀκουόντων, μᾶλλον δὲ οὐχὶ τῶν ἀκουόντων μόνων, ἀλλὰ καὶ ἐμοῦ τοῦ λέγοντος πρὸ ὑμῶν. κοινὴ γὰρ ἡ διδασκαλία, κοινὰ τὰ τραύματα· διὸ καὶ κοινὰ τὰ φάρμακα ἐπιτίθημι. τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἔργον ἐγένετο, ὥστε καὶ τὸν λέγοντα, καὶ τὸν ἀκούοντα τοῖς αὐτοῖς ὑποκεῖσθαι νόμοις, τῆς αὐτῆς κοινωνεῖν φύσεως, ὁμοίως ἕκαστον ὑπεύθυνον εἶναι παραβαίνοντα. διὰ τί; ἵνα μετὰ συμμετρίας ποιῆται τὴν ἐπιτίμησιν, ἵνα συγγνωμονικὸς γίνηται τοῖς ἁμαρτάνουσιν, ἵνα ἀναμιμνησκόμενος τῆς οἰκείας ἀσθενείας, μὴ ἀφόρητον ποιῆται τὸν ἔλεγχον. ἂν τοίνυν ἴδῃς τινὰ τῶν μετὰ σοῦ συναγελαζομένων πορνεύοντα, καὶ μυστηρίων προσερχόμενον, εἰπὲ τῷ τούτων διανομεῖ· ὁ δεῖνα ἀνάξιος μυστηρίων, κώλυσον τὸν βέβηλον τῶν ἁγίων. εἰ γὰρ μὴ διηγεῖσθαι τὰ δικαιώματα τοῦ Θεοῦ ὁ τοιοῦτος ἄξιος, ἐννόησον, οἷα προσβήσεται τὰ τῆς κολάσεως αὐτῷ, ὅταν καὶ τῆς ἱερᾶς ἅπτηται τραπέζης. οὐκ αὐτῷ δὲ μόνον, ἀλλὰ καὶ σοὶ τῷ συσκιάζοντι. οὐ γὰρ εἶπε, καὶ ἐμοίχευες, ἀλλὰ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθης. βαβαὶ, ἡλίκον ἐστὶ κακὸν, περιστέλλειν τῶν ἄλλων τὰς σηπεδόνας. κοινωνὸν γάρ σέ φησιν εἶναι τῆς ἐπὶ τῷ πλημμελήματι τιμωρίας, καὶ εἰκότως. ὁ μὲν γὰρ ἔχει τὸ πάθος εἰπεῖν, εἰ καὶ ἀσύγγνωστος ἡ πρόφασις. σοὶ δὲ οὐδὲ τοῦτο. τίνος οὖν ἕνεκεν τῆς ἡδονῆς οὐκ ἀπολαύων τῆς κολάσεως κοινωνὸς καὶ μεριστὴς γίνῃ; ἀλλ' ἐπειδὴ σφοδρότερον τῶν ἀναξίως τῶν θείων μεταλαμβανόντων μυστηρίων καθηψάμεθα, ἀναγκαῖον καὶ πρὸς ὑμᾶς διακονουμένους διαλεχθῆναι λοιπὸν, ὥστε μετὰ πολλῆς τῆς σπουδῆς διανέμειν ταῦτα τὰ δῶρα. οὐ μικρὰ γὰρ κόλασις ὑμῖν. εἰ γὰρ συνειδότες τινὶ πονηρίαν συγχωρήσητε ταύτης μετασχεῖν τῆς τραπέζης, τὸ αἷμα αὐτῶν ἐκ τῶν χειρῶν ἐκζητηθήσεται τῶν ὑμετέρων, κἂν στρατηγὸς ᾖ, κἂν ὕπαρχος, κἂν αὐτὸς ὁ τὸ διάδημα περικείμενος. ἀναξίως δὲ προσίῃ, κώλυσον. μείζονα δεσπότην ἔχεις. μὴ παροξύνῃς σου τὸν δεσπότην, οὐκ ἐκκαθαίρων τὸ σῶμα τούτου. μὴ ξίφος δὸς ἀντὶ τροφῆς, ἀλλὰ κἂν

ὑπὸ